**Testi**
**Modulo I**

**1**.Plat. 371b ὁμολογῶ σοφιστής εἶναι καὶ παιδεύειν ἀνθρώπους.

**2**. D. L. IX,52 πρῶτος μέρη χρόνου διώρισε καὶ καιροῦ δύναμιν ἐξέθετο.

**3**. Plat. *Prot*. 339a παιδεύσεως μέγιστον μέρος.

**4**. Arist. *De interpretatione* I,16a, 1 Πρῶτον δεῖ θέσθαι τί ὄνομα καὶ τί ῥῆμα, ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ ἀπόφανσις καὶ λόγος. I termini greci saranno tradotti da Boezio (*interpr.* p. 15, 17 ss.) rispettivamente con *nomen, verbum, negatio, adfirmatio, enuntiatio, oratio*.

**5**. Varr. *L.L.* 10,68 *tertium genus analogiae est illud duplex quod dixi, in quo et res et voces similiter proportione dicuntur ut bonus malus boni mali, de quorum analogia et Aristophanes et alii scripserunt*.

**6**. Sext. Emp. *adv. Math*. I,44 γραμματικὴ τοίνυν λέγεται...ἡ ἐντελὴς καὶ τοῖς περὶ Κράτητα τὸν Μαλλώτην Ἀριστοφάνην τε Ἀρίσταρχον ἐκπονηθεῖσα.

**7**. Γραμματική ἐστι ἐμπειρία τῶν παρὰ ποιεταῖς τε καὶ συγγραφεῦσιν ἐπὶ τὸ πολὺ λεγομένων.

**8**. Dion. *Comp*. 16 μεγάλη δὲ τούτων ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις ἡ ποιοῦσα μιμητικοὺς καὶ θετικοὺς ἡμᾶς τῶν ὀνομάτων, οἷς δηλοῦται τὰ πράγματα κατά τινας εὐλόγους καὶ κινητικὰς τῆς διανοίας ὁμοιότητας.

**9**. Le definizioni sono tratte dai frammenti 20-22 del Περὶ φωνῆς di Diogene di Babilonia: λέξις...φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη.

**10**. Varr. *L.L.* VIII,1,1 *Ut propago omnis natura secunda, quod prius illud rectum, unde ea, sic declinata; itaque declinatur in verbis: rectum homo, obliquum hominis, quod declinatum a recto*.

**11**. Schema della teoria dei tempi verbali.

| Tempi determinati (χρόνοι ὡρισμένοι) | Tempi indeterminati (χρόνοι ἀόριστοι) |
|---|---|
| I. Durativi (χρόνοι παρατατικοί) | a. Nel futuro (μέλλων ἀόριστος) |
| a. Nel presente: il presente (ἐνεστώς παρατατικός) | b. Nel passato (παρῳχημένος ἀόριστος) |
| b. Nel passato: imperfetto (παρῳχημένος παρατατικός | |
| II. Compiuti (συντελικοί) | |
| a. Nel presente: perfetto (ἐνεστώς συντελικός) | |
| b. Nel passato: piuccheperf. (παρῳχημένος συντελικός) | |

**12**. Quint. *inst*. 1,4,20 *Alii tamen ex idoneis dumtaxat auctoribus octo partes secuti sunt, ut Aristarchus.*

**13**. Dion. *ars* 23,1 τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος (nome, verbo, participio, articolo, pronome, preposizione, avverbio, congiunzione).

**13 bis**. τὸ «γνῶθι σαυτόν» ἔστι, ἂν τὰ πράγματα εἰδῇς τὰ σαυτοῦ καὶ τί σοι ποιητέον.

**14**. Soph. *Ant.* 566-7: **Ισ**. τί γάρ μόνῃ μοι **τῆσδ'** ἄτερ βιώσιμον; **Κρ**. ἀλλ' **ἥδε** μέντοι μὴ λέγ'· οὐ γὰρ ἔστ' ἔτι.

**15**. Aeschn. II,99: ...ἀνὴρ δὲ γενόμενος προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν, **συκοφάντης**. Cfr. Ovid. *met.* 15,96 *At vetus illa aetas, cui fecimus* ***aurea*** *nomen*

**16**. Esempi: ὦ οὗτος οὗτος, Οἰδίπους (*O tu, Edipo*). Hom. *Il*, 4,189 φίλος ὦ Μενέλαε; Soph., *Ai* 641 τλήμων πάτερ; Aeschl. *Pr.* 614 τλῆμον Προμηθεῦ.

**17**. Aristoph. *Nub.* 660 s. ἀλλ' οἶδα ἔγωγε τἄρρενα εἰ μὴ μαίνομαι· κριός, τράγος, ταῦρος, κύων, ἀλεκτρυών

**18**. Xen. *an.* II,5,41 οἱ δὲ φίλοι, ἄν τις ἐπίστηται αὐτοῖς χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι;

**19**. Xen. *an.* 3,5,18: τὴν ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν μὴ προκαταληφθείη.

**20**. GL II,185,14 *possessivus vero* (*genetivus appellatur*), *quod possessionem quoque per eum casum significamus, ut 'Priami regnum', unde possessiva quoque per eum casum interpretantur; quid est enim 'Priameium regnum' nisi 'Priami regnum'?*

**21**. ἡδὺ ὕδωρ πιεῖν **διψῶντι**.

## Testi
## Modulo II

**1**. Ionico **ἄν**, eolico **κε**. **κεν**: **κε** eolico + il **ν** efelcistico attico.

**2**. Ionico ναυσί / eolico νήεσσι.

**3**. Caratteristiche del miceneo: gen. plur. -άων (temi in **α**), gen. sing. -οιο (temi in **ο** /**ε**), strumentale: -φι.

**4**. Eolismi: dat. plur. -**εσσι**; desinenze infinito: **-μεν / μεναι**; pronomi personali **ἄμμες ἄμμι ἄμμε**, **ὔμμες ὔμμι ὔμμε** (ionico: **ἡμεῖς ἡμῖν ἡμᾶς**, **ὑμεῖς ὑμῖν ὑμᾶς**).

**5**. Attico τέσσαρες; ionico τέσσερες; eolico πίσυρες (lat. *quattuor*).

**6**. ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς.

**7**. δύσετό τ' ἠέλιος σκιόωντο τε πᾶσαι ἀγυιαί

**8**. Esempi in clausola esametrica: εὐρέα πόντον (dattilo + spondeo), espressione consentita, ma non εὐρύν πόντον (spondeo in quinta sede). Espressione accettabile invece οὐρανὸν εὐρύν (dattilo + spondeo).

**9**. Schema esametro olodattilico: – **UU**, – **UU**, – **UU**, – **UU**, – **UU**, – **U**.

**10**. Esametri spondiaci:

*Od.* 11, 6. ἡμῖν δ' αὖ κατόπισθε νεὸς κυα**<u>νοπρῴ</u>**ροιο
*Od.* 11, 8. Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς **<u>αὐδή</u>**εσσα

*Od*. 11, 10. ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνή**της τ' ἴ**θυνε
*Od*. 11, 16. Ἠέλιος φαέθων καταδέρκεται **ἀκτί**νεσσιν
*Od*. 11, 37. ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατα**τεθνη**ώτων
*Od*. 11, 40. πολλοὶ δ' οὐτάμενοι χαλκήρεσιν **ἐγχεί**ῃσιν
*Od*. 11, 84. ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς κατα**τεθνη**υίης
*Od*. 11, 85. Αὐτολύκου θυγάτηρ μεγαλήτορος **Ἀντί**κλεια
*Od*. 11, 141. μητρὸς τήνδ' ὁρόω ψυχὴν κατα**τεθνη**υίης
*Od*. 11, 143. ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτι**μυθή**σασθαι
*Od*. 11, 147. ὅν τινα μέν κεν ἐᾷς νεκύων κατα**τεθνη**ώτων
*Od*. 11, 204. ὣς ἔφατ', αὐτὰρ ἐγώ γ' ἔθελον φρεσὶ **μερμη**ρίξας
*Od*. 11, 205. μητρὸς ἐμῆς ψυχὴν ἑλέειν κατα**τεθνη**υίης

**11**. Cesura pentemimere: – **UU** – **UU** – || UU – UU – UU – U.
*Od*. 11, 12. δύσετό τ᾽ἠέλι**ος || σκιό**ωντο τε πᾶσαι ἀγυιαί.

**12**. Cesura del terzo trocheo: – **UU** – **UU** – **U** || U – UU – UU – U.
*Od*. 11, 4. ἐν δὲ τὰ μῆλα λα**βόντες || ἐ**βήσαμεν, ἂν δὲ καὶ αὐτοὶ

**13**. Cesura tritemimere: – **UU** – || UU – UU – UU – UU – U
*Od*. 11, 1. **Αὐτὰρ ἐπεί** || ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν.

**14**. Cesura eftemimere: – **UU** – **UU** – **UU** – || UU – UU – U
*Od*. 11, 59. **ὣς ἐφάμην, ὁ δέ μ' οἰμώξας** || ἠμείβετο μύθῳ

**15**. Abbreviamento in iato:
*Od*. 11, 8. **Κίρκη ἐ**ϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα
*Od*. 11, 13. ἡ δ' ἐς πείραθ' ἵκανε βα**θυρρόου** Ὠκεανοῖο
*Od*. 11, 34. **τοὺς δ' ἐπεὶ** εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν
*Od*. 11, 46. δείραντας κατα**κῆαι, ἐ**πεύξασθαι δὲ θεοῖσιν
*Od*. 11, 98. **κουλεῷ** ἐγκατέπηξ'. ὁ δ' ἐπεὶ πίεν αἷμα κελαινόν
*Od*. 11, 122. εἰς ὅ κε τοὺς ἀφί**κηαι, οἳ** οὐκ ἴσασι θάλασσαν
*Od*. 11, 207. **τρὶς δέ μοι** ἐκ χει**ρῶν σκιῇ** εἴκελον **ἢ καὶ ὀ**νείρῳ

**16**. Possibile allungamento di sillabe brevi, seguite da liquide:
*Od*. 11, 21. εἱλόμεθ'· αὐτοὶ δ' αὖτε **παρὰ ῥό**ον Ὠκεανοῖο
*Od*. 11, 136. γήρᾳ ὕ**πο λιπα**ρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ.

**17**. Allungamento di sillabe brevi (in tempo forte), quando si susseguono tre brevi:
*Od*. 11, 28. τὸ τρίτον αὖθ' ὕδα**τι· ἐπὶ** δ' ἄλφιτα λευκὰ πάλυνον
*Od*. 11, 68. Τηλεμάχου θ', ὃν μοῦνον ἐ**νὶ μεγά**ροισιν ἔλειπες
*Od*. 11, 119. αὐτὰρ ἐπὴν μνηστῆρας ἐ**νὶ μεγά**ροισι τεοῖσι
*Od*. 11, 146. ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐ**νὶ φρεσὶ** θήσω
*Od*. 11, 162. εἰς Ἰθάκην οὐδ' εἶδες ἐ**νὶ μεγά**ροισι γυναῖκα
*Od*. 11, 182. σοῖσιν ἐ**νὶ μεγά**ροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
*Od*. 11, 219. οὐ γὰρ ἔ**τι σάρ**κας τε καὶ ὀστέα ἶνες ἔχουσιν

**18**. Catalogo delle cesure presenti in *Odissea*, 11, vv. 1-224:

**a**. ***Tritemimere* + *pentemimere* + *eftemimere*** (totale: 45)[1]:
19. ἀλλ' ἐπὶ / **νὺξ || ὀλο / ὴ || τέτα / ται || δει** / λοῖσι βρο / τοῖσι

1 Cfr. ancora i vv. 30, 53, 65, 73, 75, 77, 84, 88, 103, 104, 106, 107, 109, 110, 111, 113, 114, 118, 129, 131, 141, 146, 147, 150, 156, 157, 159, 166, 168, 177, 181, 184, 185, 195, 196, 197, 201, 205, 210, 220.

26. ἀμφ' αὐ**τῷ** || **δὲ χοὴν** || **χεόμην** || **πᾶ**σιν νεκύεσσι
37. ψυχαὶ ὑ**πὲξ** || **Ἐρέβευς** || **νεκύων** || **κατα**τεθνηώτων
43. θεσπεσί**ῃ** || **ἰαχῇ·** || **ἐμὲ δὲ** || **χλω**ρὸν δέος ᾕρει
49. ἥμην **οὐδ'** || **εἴων νεκύων** || **ἀμε**νηνὰ κάρηνα

**b**. ***Cesura tritemimere*** + ***cesura del terzo trocheo*** (totale: 42)[2]:
1. Αὐτὰρ ἐ / **πεί** || **ῥ' ἐπὶ / νῆα** || **κα** / τήλθομεν / ἠδὲ θά / λασσαν
2. νῆα μὲν **ἂρ** || **πάμπρωτον** || **ἐ**ρύσσαμεν εἰς ἅλα δῖαν
3. ἐν δ' ἱσ**τὸν** || **τιθέμεσθα** || **καὶ** ἱστία νηῒ μελαίνῃ
36. ἐς βόθ**ρον**, || **ῥέε δ' αἷμα** || **κε**λαινεφές· αἱ δ' ἀγέροντο
224. ἴσθ', ἵνα **καὶ** || **μετόπισθε** || **τε**ῇ εἴπῃσθα γυναικί

**c**. ***Tritemimere*** + ***Terzo trocheo*** + ***eftemimere*** (totale: 31)[3]:
6. ἡμῖν δ' / **αὖ** || **κατό / πισθε** || **νε** / **ὸς** || **κυα** νοπρῴ / ροιο
32. Τειρεσί**ῃ** || **δ' ἀπάνευθεν** || **ὄϊν** || **ἱ**ερευσέμεν οἴῳ
35. ἐλλισά**μην**, || **τὰ δὲ μῆλα** || **λαβὼν** || **ἀπε**δειροτόμησα
52. οὐ γάρ **πω** || **ἐτέθαπτο ὑπὸ** || **χθονὸς** εὐρυοδείης
63. ἄψορ**ρον** || **καταβῆναι** || **ἰὼν** || **ἐς** κλίμακα μακρήν

**d**. ***Tritemimere*** + ***pentemimere*** (totale: 29)[4]:
10. ἥμεθα· / **τὴν** || **δ' ἄνε / μός** || **τε κυ** / βερνή / της τ' ἴ / θυνε
15. ἠέρι **καὶ** || **νεφέλῃ** || **κεκα**λυμμένοι· οὐδέ ποτ' αὐτοὺς
16. Ἠέλι**ος** || **φαέθων** || **κατα**δέρκεται ἀκτίνεσσιν
25. βόθρον ὄ**ρυξ'** || **ὅσσον** || **τε πυ**γούσιον ἔνθα καὶ ἔνθα
28. τὸ τρίτον **αὖθ'** || **ὕδατι·** || **ἐπὶ** δ' ἄλφιτα λευκὰ πάλυνον

**e**. ***Pentemimere*** + ***eftemimere*** (totale: 22)[5]:
5. βαίνομεν / ἀχνύμε / **νοι**, || **θαλε / ρὸν** || **κατὰ** / δάκρυ χέ / οντες
8. Κίρκη ἐϋπλόκα**μος**, || **δεινὴ** || **θεὸς** αὐδήεσσα
14. ἔνθα δὲ Κιμμερί**ων** || **ἀνδρῶν** || **δῆ**μός τε πόλις τε
29. πολλὰ δὲ γουνού**μην** || **νεκύων** || **ἀμε**νηνὰ κάρηνα
56. καί μιν φωνή**σας** || **ἔπεα** || **πτερό**εντα προσηύδων

**f**. ***Pentemimere*** (totale: 12)[6]:
74. ἀλλά με / κακκῆ / **αι** || **σὺν** / τεύχεσιν, / ἅσσα μοί / ἐστι
100. νόστον δίζη**αι** || **μελι**ηδέα, φαίδιμ' Ὀδυσσεῦ
165. ψυχῇ χρησόμε**νον** || **Θη**βαίου Τειρεσίαο
203. σή τ' ἀγανοφροσύ**νη** || **μελι**ηδέα θυμὸν ἀπηύρα
213. ἦ τί μοι εἴδω**λον** || **τόδ' ἀ**γαυὴ Περσεφόνεια

**g**. ***Secondo trocheo*** + ***pentemimere*** (totale: 10)[7]:
7. ἵκμενον / **οὖρον** || **ἵ / ει** || **πλη** / σίστιον, / ἐσθλὸν ἑ / ταῖρον
50. αἵματος **ἄσσον** || **ἴμεν** || **πρὶν** Τειρεσίαο πυθέσθαι
79. ὣς ἔφατ', **αὐτὰρ** || **ἐγώ** || **μιν ἀ**μειβόμενος προσέειπον

---

2 Cfr. ancora i vv. 17, 18, 20, 22, 24, 33, 42, 44, 46, 67, 80, 81, 82, 83, 99, 105, 135, 140, 145, 153, 160, 170, 171, 173, 178, 179, 180, 182, 186, 193, 198, 199, 200, 208, 212, 214, 215.
3 Cfr. ancora i vv. 31, 54, 55, 57, 68, 69, 86, 87, 93, 108, 119, 121, 122, 124, 155, 158, 161, 162, 167, 169, 175, 187, 192, 211, 218, 221.
4 Cfr. ancora i vv. 39, 45, 47, 48, 51, 62, 66, 85, 90, 126, 127, 136, 139, 142, 144, 152, 164, 172, 174, 183, 189, 202, 207, 219.
5 Cfr. ancora i vv. 64, 70, 98, 101, 112, 115, 116, 117, 132, 134, 137, 149, 154, 188, 194, 206, 209.
6 Cfr. ancora i vv. 11, 12, 23, 27, 38, 40, 41.
7 Cfr. ancora i vv. 89, 138, 176, 216.

91. χρύσεον **σκῆπτρον** || **ἔχων**, || **ἐμὲ** δ' ἔγνω καὶ προσέειπε
120. κτείνῃς **ἠὲ** || **δόλῳ** || **ἢ** ἀμφαδὸν ὀξέϊ χαλκῷ

**h**. ***Secondo trocheo + pentemimere + eftemimere*** (totale: 8)[8]:
58. ἔφθης / **πεζὸς** || **ἰ / ὼν** || **ἢ ἐ / γὼ** || **σὺν** / νηῒ με / λαίνῃ
71. ἔνθα σ' **ἔπειτα,** || **ἄναξ,** || **κέλομαι** || **μνή**σασθαι ἐμεῖο
94. ἤλυθες, **ὄφρα** || **ἴδῃ** || **νέκυας** || **καὶ ἀ**τερπέα χῶρον
96. αἵματος **ὄφρα** || **πίω** || **καί τοι** || **νη**μερτέα εἴπω
143. ἔτλη ἐ**σάντα** || **ἰδεῖν** || **οὐδὲ** || **προ**τιμυθήσασθαι

**i**. ***Secondo trocheo + terzo trocheo*** (totale: 7)[9]:
4. ἐν δὲ τὰ / **μῆλα** || **λα / βόντες** || **ἐ** / βήσαμεν, / ἂν δὲ καὶ / αὐτοὶ
9. ἡμεῖς δ' **ὅπλα** || **ἕκαστα** || **πο**νησάμενοι κατὰ νῆα
13. ἡ δ' ἐς **πείραθ'** || **ἵκανε** || **βα**θυρρόου Ὠκεανοῖο
123. ἀνέρες **οὐδέ θ'** || **ἅλεσσι** || **με**μιγμένον εἶδαρ ἔδουσιν
133. ἀθανά**τοισι** || **θεοῖσι**, || **τοὶ** οὐρανὸν εὐρὺν ἔχουσι

**l**. ***Terzo trocheo + eftemimere*** (totale: 5):
21. εἱλόμεθ'· / αὐτοὶ / δ' **αὖτε** || **πα / ρὰ** || **ῥόον** / Ὠκεα / νοῖο
61. ἆσέ με δαίμονος **αἶσα** || **κακὴ** || **καὶ ἀ**θέσφατος οἶνος
102. λήσειν ἐννοσίγ**αιον,** || **ὅ τοι** || **κότον** ἔνθετο θυμῷ
128. φήῃ ἀθηρη**λοιγὸν** || **ἔχειν** || **ἀνὰ** φαιδίμῳ ὤμῳ
217. οὔ τί σε Περσεφό**νεια** || **Διὸς** || **θυγά**τηρ ἀπαφίσκει

**m**. ***Secondo trocheo + terzo trocheo + eftemimere*** (totale: 5):
72. μή μ' ἄ / **κλαυτον** || **ἄ / θαπτον** || **ἰ / ὼν** || **ὄπι** / θεν κατα / λείπειν
78. τῷ καὶ **ζωὸς** || **ἔρεσσον** || **ἐὼν** || **μετ'** **ἐ**μοῖσ' ἑτάροισιν
125. οὐδ' εὐ **ήρε'** || **ἐρετμά**, || **τά τε** || **πτερὰ** νηυσὶ πέλονται
151. Τειρεσί**αο** || **ἄνακτος**, || **ἐπεὶ** || **κατὰ** θέσφατ' ἔλεξεν
190. ἀλλ' ὅ γε **χεῖμα** || **μὲν εὕδει** || **ὅθι δμῶ**ες ἐνὶ οἴκῳ

**n**. ***Terzo trocheo*** (totale: 4):
34. τοὺς δ' ἐπεὶ / εὐχω / **λῇσι** || **λι** / τῇσί τε, / ἔθνεα / νεκρῶν
76. ἀνδρὸς δυστή**νοιο**, || **καὶ** ἐσσομένοισι πυθέσθαι
95. ἀλλ' ἀποχάζεο **βόθρου**, || **ἄ**πισχε δὲ φάσγανον / ὀξύ
130. ἔρξας ἱερὰ **καλὰ** || **Πο**σειδάωνι ἄνακτι

**o**. ***Tritemimere + eftemimere*** (totale: 4):
59. ὥς ἐφά / **μην**, || **ὁ δέ** / μ' οἰμώ / **ξας** || **ἠ** / μείβετο / μύθῳ
60 (= 92). διογεν**ὲς** || **Λαερτιάδη,** || **πολυ**μήχαν' Ὀδυσσεῦ
97. ὣς φάτ', ἐγ**ὼ** || **δ' ἀνα** χασσάμε**νος** || **ξίφος** ἀργυρόηλον

**19**. Catalogo delle cesure presenti in Esiodo, *Teogonia*, vv. 1- 115:
**a**. ***Tritemimere + terzo trocheo*** (totale 23)[10]:
4. ὀρχεῦν**ται** || **καὶ βωμὸν** || **ἐ**ρισθενέος Κρονίωνος
12. Ἀργεί**ην,** || **χρυσέοισι** || **πεδί**λοις ἐμβεβαυῖαν
28. ἴδμεν δ' **εὖτ'** || **ἐθέλωμεν** || **ἀ**ληθέα γηρύσασθαι
31. δρέψα**σαι,** || **θηητόν·** || **ἐ**νέπνευσαν δέ μοι αὐδὴν
32. θέσπιν, **ἵνα** || **κλείοιμι** || **τά** τ' ἐσσόμενα πρό τ' ἐόντα

8 Cfr. ancora i vv. 148, 191, 204.
9 Cfr. ancora i vv. 222, 223.
10 Cfr. inoltre vv. 38, 45, 48, 54. 56, 61, 67, 68, 80, 82, 87, 88, 89, 90, 91, 96, 109, 113.

**b**. ***Pentemimere* + *eftemimere*** (totale 18)[11]:

5. καί τε λοεσσάμε**ναι** || **τέρενα** || **χρόα** Περμησσοῖο
18. Λητώ τ' Ἰαπε**τόν** || **τε ἰδὲ** || **Κρόνον** ἀγκυλομήτην
19. Ἠῶ τ' Ἠέλι**όν** || **τε μέγαν** || **λαμ**πράν τε Σελήνην
20. Γαῖάν τ' Ὠκεα**νόν** || **τε μέγαν** || **καὶ** Νύκτα μέλαιναν
21. ἄλλων τ' ἀθανά**των** || **ἱερὸν** || **γένος** αἰὲν ἐόντων

**c**. ***Tritemimere* + *pentemimere*** (totale 16)[12]:

3. καί τε πε**ρὶ** || **κρήνην** || **ἰο**ειδέα πόσσ' ἁπαλοῖσιν
6. ἠ' Ἵπ**που** || **κρήνης** || **ἠ'** Ὀλμειοῦ ζαθέοιο
10. ἐννύ**χιαι** || **στεῖχον** || **περι**καλλέα ὄσσαν ἱεῖσαι
34. σφᾶς δ' αὐ**τὰς** || **πρῶτόν** || **τε καὶ** ὕστατον αἰὲν ἀείδειν
55. λησμοσύ**νην** || **τε κακῶν** || **ἄμ**παυμά τε μερμηράων

**d**. ***Tritemimere* + *terzo trocheo* + *eftemimere*** (totale 14)[13]:

7. ἀκροτά**τῳ** || **Ἑλικῶνι** || **χοροὺς** || **ἐνε**ποιήσαντο
24. τόνδε δέ **με** || **πρώτιστα** || **θεαὶ** || **πρὸς** μῦθον ἔειπον
35. ἀλλὰ τ**ίη** || **μοι ταῦτα** || **περὶ** || **δρῦν** ἢ περὶ πέτρην
37. ὑμνεῦ**σαι** || **τέρπουσι** || **μέγαν** || **νόον** ἐντὸς Ὀλύμπου
40. ἐκ στομά**των** || **ἡδεῖα·** || **γελᾷ** || **δέ τε** δώματα πατρὸς

**e**. ***Tritemimere* + *pentemimere* + *eftemimere*** (totale 11)[14]:

29. ὧς ἔφα**σαν** || **κοῦραι** || **μεγάλου** || **Διὸς** ἀρτιέπειαι
33. καί μ' ἐκέ**λονθ'** || **ὑμνεῖν** || **μακάρων** || **γένος** αἰὲν ἐόντων
42. σκιδναμέ**νῃ,** || **ἠχεῖ** || **δὲ κάρη** || **νιφό**εντος Ὀλύμπου
63. ἔνθά **σφιν** || **λιπαροί** || **τε χοροὶ** || **καὶ** δώματα καλά
65. ἐν θαλί**ῃς·** || **ἐρατὴν** || **δὲ διὰ** || **στόμα** ὄσσαν ἱεῖσαι

**f**. ***Pentemimere*** (totale 10)[15]:

9. ἔνθεν ἀπορνύμε**ναι** || **κεκα**λυμμέναι ἠέρι πολλῷ
16. καὶ Θέμιν αἰδοί**ην** || **ἑλι**κοβλέφαρόν τ' Ἀφροδίτην
23. ἄρνας ποιμαί**νονθ'** || **Ἑλι**κῶνος ὕπο ζαθέοιο
26. ποιμένες ἄγραυ**λοι,** || **κάκ' ἐ**λέγχεα, γαστέρες οἶον
36. τύνη, Μουσά**ων** || **ἀρ**χώμεθα, ταὶ Διὶ πατρὶ

**g**. ***Terzo trocheo*** (totale 7)[16]:

8. καλοὺς ἱμερό**εντας**, || **ἐ**περρώσαντο δὲ ποσσίν
14. Φοῖβόν τ' Ἀπόλ**λωνα** || **καὶ** Ἄρτεμιν ἰοχέαιραν
15. ἠδὲ Ποσειδά**ωνα** || **γαι**ήοχον ἐννοσίγαιον
60. ἡ δ' ἔτεκ' ἐννέα **κούρας,** || **ὁμό**φρονας, ᾗσιν ἀοιδὴ
106. οἳ Γῆς ἐξεγέ**νοντο** || **καὶ** Οὐρανοῦ ἀστερόεντος

**h**. ***Terzo trocheo* + *eftemimere*** (totale 6)[17]:

13. κούρην τ' αἰγιό**χοιο** || **Διὸς** || **γλαυ**κῶπιν Ἀθήνην
27. ἴδμεν ψεύδεα **πολλὰ** || **λέγειν** || **ἐτύ**μοισιν ὁμοῖα

---

11 Cfr. ancora vv. 22, 25, 44, 50, 52, 53, 57, 62, 73, 76, 92, 93, 105.
12 Cfr. inoltre vv. 64, 69, 71, 72, 78, 78, 84, 94, 99, 103, 107.
13 Cfr. ancora i vv. 46, 51, 58, 74, 98, 108, 111, 112, 115.
14 Cfr. ancora i vv. 66, 70, 83, 97, 100, 101.
15 Cfr. ancora i vv. 39, 43, 59, 77. 102.
16 Cfr. ancora vv. 110 e 114.
17 Cfr. ancora v. 81.

41. Ζηνὸς ἐριγδού**ποιο** || **θεᾶν** || **ὀπὶ** λειριοέσσῃ
47. δεύτερον αὖτε **Ζῆνα** || **θεῶν** || **πατέρ**' ἠδὲ καὶ ἀνδρῶν
49. ὅσσον φέρτατός **ἐστι** || **θεῶν** || **κάρ**τει τε μέγιστος

**i**. ***Secondo trocheo + terzo trocheo*** (totale 3)
75. ταῦτ' ἄρα **Μοῦσαι** || **ἄειδον** || **Ὀλύ**μπια δώματ' ἔχουσαι
85. πάντες ἐς **αὐτὸν** || **ὁρῶσι** || **δια**κρίνοντα θέμιστας
86. ἰθεί**ῃσι** || **δίκῃσιν·** || **ὁ** δ' ἀσφαλέως ἀγορεύων

**l**. ***Tritemimere + eftemimere*** (totale 3)
1. Μουσά**ων** || **Ἑλικωνιάδων** || **ἀρ**χώμεθ' ἀείδειν
11. ὑμνεῦ**σαι** || **Δία τ' αἰγίοχον** || **καὶ** πότνιαν Ἥρην
17. Ἥβην **τε** || **χρυσοστέφανον** || **κα**λήν τε Διώνην

**m**. ***Secondo trocheo + terzo trocheo + eftemimere*** (totale 2)
2. αἵ θ' Ἑλι**κῶνος** || **ἔχουσιν** || **ὄρος** || **μέγα** τε ζάθεόν τε
95. ἄνδρες **ἀοιδοὶ** || **ἔασιν** || **ἐπὶ** || **χθόνα** καὶ κιθαρισταί

**n**. ***Secondo trocheo + pentemimere*** (totale: 1)
104. χαίρετε **τέκνα** || **Διός**, || **δότε** δ' ἱμερόεσσαν ἀοιδήν

**o**. ***Secondo trocheo + pentemimere + eftemimere*** (totale: 1)
30. καί μοι **σκῆπτρον** || **ἔδον** || **δάφνης** || **ἐρι**θηλέος ὄζον

**Omero**.
***Odissea* XI, vv. 1-224**

Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ἐν δ' ἱστὸν τιθέμεσθα καὶ ἱστία νηῒ μελαίνῃ,
ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἂν δὲ καὶ αὐτοὶ
βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
ἡμῖν δ' αὖ κατόπισθε νεὸς κυανοπρῴροιο
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνε.
τῆς δὲ πανημερίης τέταθ' ἱστία ποντοπορούσης.
δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡ δ' ἐς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο.
ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν,
οὔθ' ὁπότ' ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
οὔθ' ὅτ' ἂν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται,
ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν, ἐκ δὲ τὰ μῆλα
εἱλόμεθ'· αὐτοὶ δ' αὖτε παρὰ ῥόον Ὠκεανοῖο
ᾔομεν, ὄφρ' ἐς χῶρον ἀφικόμεθ', ὃν φράσε Κίρκη.
ἔνθ' ἱερήϊα μὲν Περιμήδης Εὐρύλοχός τε
ἔσχον· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
βόθρον ὄρυξ' ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
ἀμφ' αὐτῷ δὲ χοὴν χεόμην πᾶσιν νεκύεσσι,

πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνον.
πολλὰ δὲ γουνούμην νεκύων ἀμενηνὰ κάρηνα,
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,
ῥέξειν ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν,
Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ
παμμέλαν', ὃς μήλοισι μεταπρέπει ἡμετέροισι.
τοὺς δ' ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,
ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
ἐς βόθρον, ῥέε δ' αἷμα κελαινεφές· αἱ δ' ἀγέροντο
ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων·
νύμφαι τ' ἠΐθεοί τε πολύτλητοί τε γέροντες
παρθενικαί τ' ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι,
πολλοὶ δ' οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,
ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε' ἔχοντες·
οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος
θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλέϊ χαλκῷ,
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἥμην οὐδ' εἴων νεκύων ἀμενηνὰ κάρηνα
αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι.
πρώτη δὲ ψυχὴ Ἐλπήνορος ἦλθεν ἑταίρου·
οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·
σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς
ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε.
τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'Ἐλπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα;
ἔφθης πεζὸς ἰὼν ἢ ἐγὼ σὺν νηῒ μελαίνῃ.'
ὣς ἐφάμην, ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ·
'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ' ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
ἀστραγάλων ἐάγη, ψυχὴ δ' Ἄϊδόσδε κατῆλθε.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
πρός τ' ἀλόχου καὶ πατρός, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ', ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
ἔνθα σ' ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο.
μή μ' ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστι,
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης,
ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι·
ταῦτά τέ μοι τελέσαι πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμόν,
τῷ καὶ ζωὸς ἔρεσσον ἐὼν μετ' ἐμοῖσ' ἑτάροισιν.'

ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.'
νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
ἥμεθ', ἐγὼ μὲν ἄνευθεν ἐφ' αἵματι φάσγανον ἴσχων,
εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευεν.
ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς κατατεθνηυίης,
Αὐτολύκου θυγάτηρ μεγαλήτορος Ἀντίκλεια,
τὴν ζωὴν κατέλειπον ἰὼν εἰς Ἴλιον ἱρήν.
τὴν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ·
ἀλλ' οὐδ' ὧς εἴων προτέρην, πυκινόν περ ἀχεύων,
αἵματος ἄσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι.
ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο,
χρύσεον σκῆπτρον ἔχων, ἐμὲ δ' ἔγνω καὶ προσέειπε·
'διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
ἤλυθες, ὄφρα ἴδῃ νέκυας καὶ ἀτερπέα χῶρον;
ἀλλ' ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω.'
ὣς φάτ', ἐγὼ δ' ἀναχασσάμενος ξίφος ἀργυρόηλον
κουλεῷ ἐγκατέπηξ'. ὁ δ' ἐπεὶ πίεν αἷμα κελαινόν,
καὶ τότε δή μ' ἐπέεσσι προσηύδα μάντις ἀμύμων·
'νόστον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ·
τὸν δέ τοι ἀργαλέον θήσει θεός. οὐ γὰρ ὀΐω
λήσειν ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῷ,
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἔτι μέν κε καὶ ὧς, κακά περ πάσχοντες, ἵκοισθε,
αἴ κ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
ὁππότε κεν πρῶτον πελάσῃς εὐεργέα νῆα
Θρινακίῃ νήσῳ, προφυγὼν ἰοειδέα πόντον,
βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.
τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
καί κεν ἔτ' εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
νηΐ τε καὶ ἑτάροισ'. αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς,
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους,
νηὸς ἐπ' ἀλλοτρίης· δήεις δ' ἐν πήματα οἴκῳ,
ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσι
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες.
ἀλλ' ἦ τοι κείνων γε βίας ἀποτείσεαι ἐλθών·
αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδὸν ὀξέϊ χαλκῷ,
ἔρχεσθαι δὴ ἔπειτα, λαβὼν εὐῆρες ἐρετμόν,
εἰς ὅ κε τοὺς ἀφίκηαι, οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ' ἄρα τοὶ ἴσασι νέας φοινικοπαρῄους,
οὐδ' εὐήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει·
ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
καὶ τότε δὴ γαίῃ πήξας εὐῆρες ἐρετμόν,
ἔρξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,

ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον,
οἴκαδ' ἀποστείχειν ἔρδειν θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ' ἑξείης. θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ
γήρᾳ ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
ὄλβιοι ἔσσονται. τὰ δέ τοι νημερτέα εἴρω.'
ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'Τειρεσίη, τὰ μὲν ἄρ που ἐπέκλωσαν θεοὶ αὐτοί.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
μητρὸς τήνδ' ὁρόω ψυχὴν κατατεθνηυίης·
ἡ δ' ἀκέουσ' ἧσται σχεδὸν αἵματος οὐδ' ἑὸν υἱὸν
ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι·
εἰπέ, ἄναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα;'
ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπε·
'ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐνὶ φρεσὶ θήσω·
ὅν τινα μέν κεν ἐᾷς νεκύων κατατεθνηώτων
αἵματος ἄσσον ἴμεν, ὁ δέ τοι νημερτὲς ἐνίψει·
ᾧ δέ κ' ἐπιφθονέῃς, ὁ δέ τοι πάλιν εἶσιν ὀπίσσω.'
ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄϊδος εἴσω
Τειρεσίαο ἄνακτος, ἐπεὶ κατὰ θέσφατ' ἔλεξεν·
αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, ὄφρ' ἐπὶ μήτηρ
ἤλυθε καὶ πίεν αἷμα κελαινεφές· αὐτίκα δ' ἔγνω
καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
'τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι
πεζὸν ἐόντ', ἢν μή τις ἔχῃ εὐεργέα νῆα.
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ' ἱκάνεις
νηΐ τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
εἰς Ἰθάκην οὐδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;'
- ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
'μῆτερ ἐμή, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο
ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο·
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος οὐδέ πω ἁμῆς
γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀϊζύν,
ἐξ οὗ τὰ πρώτισθ' ἑπόμην Ἀγαμέμνονι δίῳ
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μαχοίμην.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
ἢ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα
οἷσ' ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν;
εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,
ἢ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ' οὐκέτι φασὶ νέεσθαι.
εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε,
ἠὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει,
ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν ὅς τις ἄριστος.'
ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
'καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ

φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.
σὸν δ' οὔ πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ ἕκηλος
Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐΐσας
δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
πάντες γὰρ καλέουσι. πατὴρ δὲ σὸς αὐτόθι μίμνει
ἀγρῷ οὐδὲ πόλινδε κατέρχεται· οὐδέ οἱ εὐναὶ
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα,
ἀλλ' ὅ γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκῳ,
ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροῒ εἵματα εἷται·
αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος τεθαλυῖά τ' ὀπώρη,
πάντῃ οἱ κατὰ γουνὸν ἀλῳῆς οἰνοπέδοιο
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί.
ἔνθ' ὅ γε κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
σὸν νόστον ποθέων· χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει.
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
οὔτ' ἐμέ γ' ἐν μεγάροισιν ἐΰσκοπος ἰοχέαιρα
οἷσ' ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν,
οὔτε τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα
τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν·
ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.'
ὣς ἔφατ', αὐτὰρ ἐγώ γ' ἔθελον φρεσὶ μερμηρίξας
μητρὸς ἐμῆς ψυχὴν ἑλέειν κατατεθνηυίης.
τρὶς μὲν ἐφωρμήθην, ἑλέειν τέ με θυμὸς ἀνώγει,
τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον ἢ καὶ ὀνείρῳ
ἔπτατ'· ἐμοὶ δ' ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'μῆτερ ἐμή, τί νύ μ' οὐ μίμνεις ἑλέειν μεμαῶτα,
ὄφρα καὶ εἰν Ἀΐδαο φίλας περὶ χεῖρε βαλόντε
ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο;
ἦ τί μοι εἴδωλον τόδ' ἀγαυὴ Περσεφόνεια
ὤτρυν', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω;'
ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
'ὤ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,
οὔ τί σε Περσεφόνεια Διὸς θυγάτηρ ἀπαφίσκει,
ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε τίς κε θάνῃσιν.
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ' ὀστέα θυμός,
ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.
ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
ἴσθ', ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί.'

## **Esiodo**, ***Teogonia*****, vv. 1-115**

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵ θ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·
καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο
ἠ' Ἵππου κρήνης ἠ' Ὀλμειοῦ ζαθέοιο
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο,
καλοὺς ἱμερόεντας, ἐπερρώσαντο δὲ ποσσίν.

ἔνθεν ἀπορνύμεναι κεκαλυμμέναι ἠέρι πολλῷ
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην
Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν
ἠδὲ Ποσειδάωνα γαιήοχον ἐννοσίγαιον
καὶ Θέμιν αἰδοίην ἑλικοβλέφαρόν τ' Ἀφροδίτην
Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην
Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην
Ἠῶ τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Γαῖάν τ' Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
"ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
ἴδμεν δ' εὖτ' ἐθέλωμεν ἀληθέα γηρύσασθαι."
ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι,
καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
δρέψασαι, θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
θέσπιν, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
καί μ' ἐκέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἴρουσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι, τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ, ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου
δώματά τ' ἀθανάτων· αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο, θεοὶ δωτῆρες ἐάων·
δεύτερον αὖτε Ζῆνα θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
[ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ †λήγουσαί τ' ἀοιδῆς,]
ὅσσον φέρτατός ἐστι θεῶν κάρτει τε μέγιστος·
αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε Γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κούρας, ὁμόφρονας, ᾗσιν ἀοιδὴ

μέμβλεται ἐν στήθεσσιν, ἀκηδέα θυμὸν ἐχούσαις,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου·
ἔνθά σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά,
πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι
μέλπονται, πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.
αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον, ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει
νισομένων πατέρ' εἰς ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτει νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξε νόμους καὶ ἐπέφραδε τιμάς.
ταῦτ' ἄρα Μοῦσαι ἄειδον Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε
Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τ' Οὐρανίη τε
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο
γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τι καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηιδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν·
ἐρχόμενον δ' ἀν' ἀγῶνα θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι.
τοίη Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
ἐκ γάρ τοι Μουσέων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί,
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέι θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσει μάκαράς τε θεούς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅ γε δυσφροσυνέων ἐπιλήθεται οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
χαίρετε τέκνα Διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν·
κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ Γῆς ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος,
Νυκτός τε δνοφερῆς, οὕς θ' ἁλμυρὸς ἔτρεφε Πόντος.
εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος οἴδματι θυίων
ἄστρά τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·
[οἵ τ' ἐκ τῶν ἐγένοντο, θεοὶ δωτῆρες ἐάων·]
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,

ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
ἐξ ἀρχῆς, καὶ εἴπαθ', ὅτι πρῶτον γένετ' αὐτῶν.

**Euripide**, ***Elena***, **I *prologo*, vv. 1-67**

**ΕΛΕΝΗ**

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.
Πρωτεὺς δ' ὅτ' ἔζη τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,
ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,
Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰακοῦ.
τίκτει δὲ τέκνα δισσὰ τοῖσδ' ἐν δώμασιν,
Θεοκλύμενον ἄρσεν' [ὅτι δὴ θεοὺς σέβων
βίον διήνεγκ'] εὐγενῆ τε παρθένον
Εἰδώ, τὸ μητρὸς ἀγλάϊσμ', ὅτ' ἦν βρέφος·
ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραία γάμων,
καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ
τά τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,
προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν
Λήδαν κύκνου μορφώματ' ὄρνιθος λαβών,
ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' αἰετοῦ
δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος·
Ἑλένη δ' ἐκλήθην. ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ' ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν' Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ' ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ. λιπὼν δὲ βούσταθμ' Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ' ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ' οὕνεκ' οὐ νικᾷ θεὰς
ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ' οὐκ ἔμ' ἀλλ' ὁμοιώσασ' ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ' ἄπο
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ' ἔχειν,
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ' αὖ Διὸς
βουλεύματ' ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ' ἐς ἀλκὴν προυτέθην ἐγὼ μὲν οὔ,
τὸ δ' ὄνομα τοὐμόν, ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ' Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος
νεφέλῃ καλύψας - οὐ γὰρ ἠμέλησέ μου
Ζεύς - τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσατο,

πάντων προκρίνας σωφρονέστατον βροτῶν,
ἀκέραιον ὡς σώσαιμι Μενέλεῳ λέχος.
κἀγὼ μὲν ἐνθάδ' εἴμ', ὁ δ' ἄθλιος πόσις
στράτευμ' ἀθροίσας τὰς ἐμὰς ἀναρπαγὰς
θηρᾷ πορευθεὶς Ἰλίου πυργώματα.
ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ' ἐγὼ
κατάρατός εἰμι καὶ δοκῶ προδοῦσ' ἐμὸν
πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί οὖν ἔτι ζῶ; θεοῦ τόδ' εἰσήκουσ' ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρί, γνόντος ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί.
ἕως μὲν οὖν φῶς ἡλίου τόδ' ἔβλεπεν
Πρωτεύς, ἄσυλος ἦ γάμων· ἐπεὶ δὲ γῆς
σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με. τὸν πάλαι δ' ἐγὼ πόσιν
τιμῶσα Πρωτέως μνῆμα προσπίτνω τόδε
ἱκέτις, ἵν' ἀνδρὶ τἀμὰ διασώσῃ λέχη,
ὡς, εἰ καθ' Ἑλλάδ' ὄνομα δυσκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ' ἐνθάδ' αἰσχύνην ὄφλῃ.

**Euripide**, ***Medea***, ***prologo***, vv. 1-95

**ΤΡΟΦΟΣ**

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀριστέων οἳ τὸ πάγχρυσον δέρος
Πελίαι μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας
ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος·
οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα
αὐτῷ τε πάντα ξυμφέρουσ' Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
νῦν δ' ἐχθρὰ πάντα καὶ νοσεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ' ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιάς,
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσιν,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος

κλύδων ἀκούει νουθετουμένη φίλων,
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται.
δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον·
βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς
πάσχουσ'· ἐγᾦιδα τήνδε, δειμαίνω τέ νιν
μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
[σιγῇ δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος]
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.
δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον ἄισεται.
ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

**ΠΑΙΔΑΓΩΓΟΣ**

παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;
**Τρ**. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ ἐς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος
ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.
**Πα**. οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
**Τρ**. ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ.
**Πα**. ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
**Τρ**. τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.
**Πα**. οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
**Τρ**. μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.
**Πα**. ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτεροι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
**Τρ**. καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
**Πα**. παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
**Τρ**. ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν

νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
**Πα**. ἀτὰρ σύ γ', οὐ γὰρ καιρὸς εἰδέναι τόδε
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.
**Τρ**. ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν ἐς φίλους ἁλίσκεται.
**Πα**. τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
[οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,]
εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ;
**Τρ**. ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινι.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

### **Erodoto, V, 105-107.**

**105**. Βασιλέϊ δὲ Δαρείῳ ὡς ἐξαγγέλθη Σάρδις ἁλούσας ἐμπεπρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγεμόνα γενέσθαι τῆς συλλογῆς ὥστε ταῦτα συνυφανθῆναι τὸν Μιλήσιον Ἀρισταγόρην, πρῶτα μὲν λέγεται αὐτόν, ὡς ἐπύθετο ταῦτα, Ἰώνων οὐδένα λόγον ποιησάμενον, εὖ εἰδότα ὡς οὗτοί γε οὐ καταπροΐξονται ἀποστάντες, εἰρέσθαι οἵτινες εἶεν οἱ Ἀθηναῖοι, μετὰ δὲ πυθόμενον αἰτῆσαι τὸ τόξον, λαβόντα δὲ καὶ ἐπιθέντα ὀϊστὸν ἄνω πρὸς τὸν οὐρανὸν ἀπεῖναι, καί μιν ἐς τὸν ἠέρα βάλλοντα εἰπεῖν· "Ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τείσασθαι", εἴπαντα δὲ ταῦτα προστάξαι ἑνὶ τῶν θεραπόντων δείπνου προκειμένου αὐτῷ ἐς τρὶς ἑκάστοτε εἰπεῖν· "Δέσποτα, μέμνεο τῶν Ἀθηναίων."
**106**. Προστάξας δὲ ταῦτα εἶπε, καλέσας ἐς ὄψιν Ἱστιαῖον τὸν Μιλήσιον, τὸν ὁ Δαρεῖος κατεῖχε χρόνον ἤδη πολλόν· "Πυνθάνομαι, Ἱστιαῖε, ἐπίτροπον τὸν σόν, τῷ σὺ Μίλητον ἐπέτρεψας, νεώτερα ἐς ἐμὲ πεποιηκέναι πρήγματα· ἄνδρας γάρ μοι ἐκ τῆς ἑτέρης ἠπείρου ἐπαγαγὼν καὶ Ἴωνας σὺν αὐτοῖσι τοὺς δώσοντας ἐμοὶ δίκην τῶν ἐποίησαν, τούτους ἀναγνώσας ἅμα ἐκείνοισι ἕπεσθαι Σαρδίων με ἀπεστέρησε. Νῦν ὦν κῶς τοι ταῦτα φαίνεται ἔχειν καλῶς; Κῶς δὲ ἄνευ τῶν σῶν βουλευμάτων τοιοῦτό τι ἐπρήχθη; Ὅρα μὴ ἐξ ὑστέρης σεωυτὸν ἐν αἰτίῃ σχῇς." Εἶπε πρὸς ταῦτα Ἱστιαῖος· "Βασιλεῦ, κοῖον ἐφθέγξαο ἔπος, ἐμὲ βουλεῦσαι πρῆγμα ἐκ τοῦ σοί τι ἢ μέγα ἢ σμικρὸν ἔμελλε λυπηρὸν ἀνασχήσειν; Τί δ' ἂν ἐπιδιζήμενος ποιοῖμι ταῦτα, τεῦ δὲ ἐνδεὴς ἐών; Τῷ πάρα μὲν πάντα ὅσα περ σοί, πάντων δὲ πρὸς σέο βουλευμάτων ἐπακούειν ἀξιεῦμαι. Ἀλλ' εἴπερ τι τοιοῦτο οἷον σὺ εἴρηκας πρήσσει ὁ ἐμὸς ἐπίτροπος, ἴσθι αὐτὸν ἐπ' ἑωυτοῦ βαλλόμενον πεπρηχέναι. Ἀρχὴν δὲ ἔγωγε οὐδὲ ἐνδέκομαι τὸν λόγον, ὅκως τι Μιλήσιοι καὶ ὁ ἐμὸς ἐπίτροπος νεώτερον πρήσσουσι περὶ πρήγματα τὰ σά· εἰ δ' ἄρα τι τοιοῦτο ποιεῦσι καὶ σὺ τὸ ἐὸν ἀκήκοας, ὦ βασιλεῦ, μάθε οἷον πρῆγμα ἐργάσαο ἐμὲ ἀπὸ θαλάσσης ἀνάσπαστον ποιήσας. Ἴωνες γὰρ οἴκασι ἐμέο ἐξ ὀφθαλμῶν σφι γενομένου ποιῆσαι τῶν πάλαι ἵμερον εἶχον· ἐμέο δ' ἂν ἐόντος ἐν Ἰωνίῃ οὐδεμία πόλις ὑπεκίνησε. Νῦν ὦν ὡς τάχος ἄφες με πορευθῆναι ἐς Ἰωνίην, ἵνα τοι κεῖνά τε πάντα καταρτίσω ἐς τὠυτὸ καὶ τὸν Μιλήτου ἐπίτροπον τοῦτον τὸν ταῦτα μηχανησάμενον ἐγχειρίθετον παραδῶ. Ταῦτα δὲ κατὰ νόον τὸν σὸν ποιήσας θεοὺς ἐπόμνυμι τοὺς βασιληίους μὴ μὲν πρότερον ἐκδύσεσθαι τὸν ἔχων κιθῶνα καταβήσομαι ἐς Ἰωνίην πρὶν ἄν τοι Σαρδὼ νῆσον τὴν μεγίστην δασμοφόρον ποιήσω".

**107**. Ἱστιαῖος μὲν δὴ λέγων ταῦτα διέβαλλε, Δαρεῖος δὲ ἐπείθετο καί μιν ἀπίει, ἐντειλάμενος, ἐπεὰν τὰ ὑπέσχετό οἱ ἐπιτελέα ποιήσῃ, παραγίνεσθαί οἱ ὀπίσω ἐς τὰ Σοῦσα.

### **Erodoto, VI, 18-21.**

**18**. Οἱ δὲ Πέρσαι ἐπείτε τῇ ναυμαχίῃ ἐνίκων τοὺς Ἴωνας, τὴν Μίλητον πολιορκέοντες ἐκ γῆς καὶ θαλάσσης ὑπορύσσοντές ‹τε› τὰ τείχεα καὶ παντοίας μηχανὰς προσφέροντες αἱρέουσι κατ' ἄκρης ἕκτῳ ἔτεϊ ἀπὸ τῆς ἀποστάσιος τῆς Ἀρισταγόρεω· καὶ ἠνδραποδίσαντο τὴν πόλιν, ὥστε συμπεσεῖν

τὸ πάθος τῷ χρηστηρίῳ τῷ ἐς Μίλητον γενομένῳ.

**19**. Χρεωμένοισι γὰρ Ἀργείοισι ἐν Δελφοῖσι περὶ σωτηρίης τῆς πόλιος τῆς σφετέρης ἐχρήσθη ἐπίκοινον χρηστήριον, τὸ μὲν ἐς αὐτοὺς τοὺς Ἀργείους φέρον, τὴν δὲ παρενθήκην ἔχρησε ἐς Μιλησίους. Τὸ μέν νυν ἐς τοὺς Ἀργείους ἔχον, ἐπεὰν κατὰ τοῦτο γένωμαι τοῦ λόγου, τότε μνησθήσομαι, τὰ δὲ τοῖσι Μιλησίοισι οὐ παρεοῦσι ἔχρησε ἔχει ὧδε.

Καὶ τότε δή, Μίλητε, κακῶν ἐπιμήχανε ἔργων,
πολλοῖσιν δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα γενήσῃ,
σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήταις,
νηοῦ δ' ἡμετέρου Διδύμοις ἄλλοισι μελήσει.

Τότε δὴ ταῦτα τοὺς Μιλησίους κατελάμβανε, ὅτε γε ἄνδρες μὲν οἱ πλεῦνες ἐκτείνοντο ὑπὸ τῶν Περσέων ἐόντων κομητέων, γυναῖκες δὲ καὶ τέκνα ἐν ἀνδραπόδων λόγῳ ἐγίνοντο, ἱρὸν δὲ τὸ ἐν Διδύμοισι, ὁ νηός τε καὶ τὸ χρηστήριον, συληθέντα ἐνεπίμπρατο. Τῶν δ' ἐν τῷ ἱρῷ τούτῳ χρημάτων πολλάκις μνήμην ἑτέρωθι τοῦ λόγου ἐποιησάμην.

**20**. Ἐνθεῦτεν οἱ ζωγρηθέντες τῶν Μιλησίων ἤγοντο ἐς Σοῦσα· βασιλεὺς δέ σφεας Δαρεῖος κακὸν οὐδὲν ἄλλο ποιήσας κατοίκισε ἐπὶ τῇ Ἐρυθρῇ καλεομένῃ θαλάσσῃ, ἐν Ἄμπῃ πόλι, παρ' ἣν Τίγρης ποταμὸς παραρρέων ἐς θάλασσαν ἐξίει. Τῆς δὲ Μιλησίης χώρης αὐτοὶ μὲν οἱ Πέρσαι εἶχον τὰ περὶ τὴν πόλιν καὶ τὸ πεδίον, τὰ δὲ ὑπεράκρια ἔδοσαν Καρσὶ Πηδασεῦσι ἐκτῆσθαι.

**21**. Παθοῦσι δὲ ταῦτα Μιλησίοισι πρὸς Περσέων οὐκ ἀπέδοσαν τὴν ὁμοίην Συβαρῖται, οἳ Λᾶόν τε καὶ Σκίδρον οἴκεον τῆς πόλιος ἀπεστερημένοι· Συβάριος γὰρ ἁλούσης ὑπὸ Κροτωνιητέων Μιλήσιοι πάντες ἡβηδὸν ἀπεκείραντο τὰς κεφαλὰς καὶ πένθος μέγα προσεθήκαντο· πόλιες γὰρ αὗται μάλιστα δὴ τῶν ἡμεῖς ἴδμεν ἀλλήλῃσι ἐξεινώθησαν. Οὐδὲν ὁμοίως καὶ Ἀθηναῖοι· Ἀθηναῖοι μὲν γὰρ δῆλον ἐποίησαν ὑπεραχθεσθέντες τῇ Μιλήτου ἁλώσι τῇ τε ἄλλῃ πολλαχῇ καὶ δὴ καὶ ποιήσαντι Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν καὶ διδάξαντι ἐς δάκρυά τε ἔπεσε τὸ θέητρον καὶ ἐζημίωσάν μιν ὡς ἀναμνήσαντα οἰκήια κακὰ χιλίῃσι δραχμῇσι, καὶ ἐπέταξαν μηκέτι μηδένα χρᾶσθαι τούτῳ τῷ δράματι.

## Erodoto, VII, 44-46.

**44**. Ἐπεὶ δ' ἐγένοντο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν. Καὶ, προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου λευκοῦ (ἐποίησαν δὲ Ἀβυδηνοί, ἐντειλαμένου πρότερον βασιλέος), ἐνθαῦτα ὡς ἵζετο, κατορέων ἐπὶ τῆς ἠιόνος ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας. Θηεύμενος δὲ ἱμέρθη τῶν νεῶν ἅμιλλαν γινομένην ἰδέσθαι· ἐπεὶ δὲ ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ.

**45**. Ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα ὁ Ξέρξης ἑωυτὸν ἐμακάρισε, μετὰ δὲ τοῦτο ἐδάκρυσε.

**46**. Μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, οὗτος ὡνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα εἴρετο τάδε· "Ὦ βασιλεῦ, ὡς πολλὸν ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις". Ὁ δὲ εἶπε· "Ἐσῆλθε γάρ με λογισάμενον κατοικτῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται". Ὁ δὲ ἀμείβετο λέγων· "Ἕτερα τούτου παρὰ τὴν ζόην πεπόνθαμεν οἰκτρότερα. Ἐν γὰρ οὕτω βραχέϊ βίῳ οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε, οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. Αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. Οὕτω ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονε· ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών".

**Testi**
**Modulo III**

**1**. *jηπαρ > ἧπαρ (lat. *iecur*); *jυγον > ζυγόν (lat. *iugum*).

**2**. *τιμαjω > τιμάω; *πολεjες > πολεες > πόλεις.

**3**. j preceduto da consonante muta-occlusiva:

**a**. **π**, **β**, **φ + j** > **ττ** (*κοπjω > κόπτω).
**b**. **τ**, **θ + j > σσ** (ionico e attico antico: μελιτ-jα > μέλισσα), **> ττ** (attico recente: μέλιττα), **> σ**: τοτ-jος > τόσσος (Omero) / τόσος (attico).
**c**. **δ+j > ζ** (*νομιδ-jω > νομίζω).
**d**. **κ**, **χ + jω > σσ** (ionico-attico antico), **> ττ** (attico recente): *ταραχ-jω > ταράσσω / ταράττω.
**e**. **γ + j** > **ζ** oppure **σσ / ττ**: *κραγ-jω > κράζω; *πραγ-jω > πράσσω / πράττω.

**4**. **τ**, **θ + j** (iniziale di parola) > **σ**: *θjᾱμα > σῆμα. **κ**, **χ + j** (iniziale di parola) > **τ** (attico), altrimenti **σ**: *κjᾱμερον > τήμερον (attico), σήμερον (ionico).

**5**. **λ + j > λλ**: *αγγελ-jω > ἀγγέλλω. **αν**, **ον + j > αιν**, **οιν**: *φαν-jω > φαίνω. **αρ**, **ορ + j** > **αιρ**, **οιρ**: *μορjα > μοῖρα.

**6**. **εν**, **ιν**, **υν + j > ειν, ῑν, ῡν / ερ, ιρ, υρ + j > ειρ**, **ῑρ**, **ῡρ**: *κτεν-jω > κτείνω, *κριν-jω > κρίνω, *πλυν-jω > πλύνω, *σπερ-jω > σπείρω, *οἰκτιρ-jω > οἰκτίρω *ὀλοφυρ-jω > ὀλοφύρω.

**7**. Metatesi di **ϝj** > **jϝ**: *κλαϝ-jω > *κλαιϝω > κλαίω, *γλυκεϝ-jα *γλυκειϝα > γλυκεῖα, *διϝ-jος > *διjϝος > δῖος, *φυϝjω > φυjϝω > *φυϝω > φύω.

**8**. Il gruppo **σj**: *αληθεσ-jα > ἀλήθεια.

**9**. ϝ iniziale di parola: *ϝεσπερος > ἕσπερος (lat. *vesper*), ma *ϝοινος > οἶνος, *ϝετος > ἔτος (lat. *vetus*).

**10**. ϝ in posizione intervocalica: *κλεϝος > κλέος.

**11**. ϝ preceduto da liquida o nasale in alcuni dialetti: *ξενϝος > ξεῖνος (ionico), ξένος (attico), κόρϝα (dorico), κούρη (ionico), κόρη (attico).

**12**. ϝ nei gruppi ϝλ e ϝρ iniziali di parola: *ϝρηγνυμι > ῥήγνυμι, *ἐϝραπτον > ἔρραπτον.

**13**. Il perfetto dei gruppi **ϝλ** e **ϝρ > ϝε-ϝλ** e **ϝε-ϝρ**, scomparsa di entrambi i ϝ allungamento di compenso: *ϝε-ϝρηκα > εἴρηκα.

**14**. Scomparsa del ϝ, compensata dallo spirito aspro, nel gruppo **σϝ** iniziale di parola; all'interno di parola tale scomparsa lascia allungamento di compenso: *σϝαδυς > ἡδύς (lat. *suavis*); *σϝεκαστος > ἕκαστος; *σεσϝωθα > εἴωθα ('ho l'abitudine').

**15**. Cfr. *κορϝᾱ > *κορϝη > κόρη; *δερϝᾱ > *δερϝη > δέρη (scomparsa del ϝ posteriore a ᾱ > η). Cfr. *κορσᾱ > κόρση (ion.) > κόρρη (ᾱ > η anteriore a ρσ > ρρ in att.).

**16**. Legge di Osthoff: *γνω-ντες > γνόντες. *βη-ντων > βάντων. *λυθη-j-μεν > λυθεῖμεν. *νᾱϝς > *νᾱυς > νᾰύς. *βασιληϝ-ς *βασιληυς > βασιλεύς.

**17**. Sonanti vocaliche: **l̥**, **r̥**, **m̥**, **n̥**

| **Indoeuropeo** | **Greco** | **Latino** |
|---|---|---|

| | | |
|---|---|---|
| ***ṃl** (nozione di *molle*) | μ**α**λακός | *mol-lis* |
| ***ṛk-so** (nozione di *orso*) | **ἄρ**κ-τος | *ursus* < *orc-sos |
| ***kṛd** (nozione di *cuore*) | κ**αρ**δία (κραδίη) | *cor cord-is* |
| ***stṛ** (nozione di *distendere*) | στρ**α**-τός | *stor-ia* 'stuoia' |
| ***dekṃ** (nozione di *dieci*) | δέκ**α** | *decem* |
| ***kṃtom** (nozione di *cento*) | (ἑ)κατόν | *centum* |
| ***ṇ** (prefisso negativo) | **ἀ**- privativo | *en-* > *in-* (in-utilis) |
| * **ṇ-gnoto** (*non-conosciuto*) | **ἄ**-γνωτος | **in-gnotus* > *ignotus* |
| ***tṇ-to** (nozione di *teso*) | **τα**-τός | *ten-tus* |

**18**. La sonante indoeuropea schwa (ə).

| **Indoeuropeo** | **Greco** | **Latino** |
|---|---|---|
| *pəter (nozione di *padre*) | πατήρ | *păter* |
| *koləmos (nozione di *canna*) | κάλαμος | *calămus* |
| *anəmos (nozione di *vento*) | ἄνεμος | *animus* |
| *stətos (nozione di *posto*) | στατός | *stătus* |
| *dətos (nozione di *dato*) | δοτός | *dătus* |
| *dhətos (nozione di *messo in atto*) | θετός | *făctus* |

**19**. ***Legge di Grassmann*** (dissimilazione regressiva): *σεχω > *ἑχω > ἔχω. *φεφυκα > πέφυκα. *θιθημι > τίθημι. ***Ripristino della prima aspirata***: ἔχω / ἕξω; *θριχα > τρίχα, dat. θριξί (cfr. *θριχ-σί > *θρικ-σι). ***Mancata dissimilazione***: ἐχύθην e ἐφάνθην. ***Dissimilazione progressiva***: *λυθηθι > λύθητι. ***Imperativo non dissimilato***, ***ma forse analogico***: φά-θι di φημί (né *παθι né *φατι), ma cfr. ἴθι (*va'*), ἴσθι (*sii* e *sappi)* στῆθι (*fermati*), πῖθι (*bevi*).

**20**. ***Metatesi di aspirazione***: πάσχω < *παθ-σκω.

**21**. Cfr. σπορ-ά, σπείρω (< ***σπερ-jω**), σπαρ-τός (< **σπṛ**).

**22**. Esempi di apofonia in lingue moderne.

| | Infinito presente | Preterito | Participio passato |
|---|---|---|---|
| Tedesco | sprechen | Ich sprach | ge-sprochen |
| Inglese | to speak | I spoke | spoken |
| Tedesco | beginnen | Ich begonn | begonnen |
| Inglese | to begin | I began | begun |
| Tedesco | trinken | Ich trank | ge-trunken |
| Inglese | to drink | I drank | drunk |
| Inglese | to write | I wrote | written |
| Tedesco | werfen | Ich warf | ge-worfen |

**23**. ε / ο + ι / υ:

**ει** (grado normale) **οι** (grado forte) **ι** (grado zero)
**ευ** (grado normale) **ου** (grado forte) **υ** (grado zero).

**24**. ε / ο + sonante liquida o nasale:

**ελ / ολ / l̥ > αλ (λα)**
**ερ / ορ / r̥ > αρ (ρα)**
**εμ / ομ / m̥ > α (αμ)**
**εν / ον / n̥ > α (αν)**

**25**. Esempi di apofonia qualitativa.

| Grado medio o normale | Grado forte | Grado zero |
|---|---|---|
| φ**έ**ρω | φ**ο**ρός | δί**φρ**ος |
| λ**εί**πω | λέλ**οι**πα | ἔλ**ι**πον |
| φ**εύ**γω | | ἔφ**υ**γον |
| στ**έ**λλω | στ**ό**λος | *ἐ-στ*l̥*-κα > ἔστ**αλ**-κα |
| ἄνθρωπ**ε** | ἄνθρωπ**ο**ς | |
| ἐλ**εύ**σομαι < ἐλεύθ-σομαι | ἐἰλ-ήλ**ου**θ-α (ionico) | ἦλθ-ον |
| λέγ**ε**τε | λέγ**ο**μεν | |
| (σ)**ἔ**χω | (σ)**ὀ**χός | ἔ-**σχ-**ον |
| τ**ε**νῶ | τ**ό**νος | *τε-τ*n̥*-κα > τέ-τ**α**-κα |
| σπ**έ**ρμα | σπ**ο**ρά | *ἐ-σπ*r̥*κα > ἐσπ**α**ρ-κα |
| πατ**έ**ρ-α | εὐ-πάτ**ο**ρα | πατρ-ί |
| δ**έ**μω | δ**ό**μος | *δ*m̥***-**πεδον > δ**ά**-πεδον |
| μ**έ**νω | μ**ό**νος | μί- -ω |
| φρ**ή**ν | σώφρ**ω**ν | |

**26**. **Apofonia quantitativa**.

| Grado medio o normale | Grado forte o allungato | Grado zero |
|---|---|---|
| ᾰ | ᾱ / η | |
| ε | η | |
| ο | ω | |
| ῐ | ῑ | |
| ῠ | ῡ | |
| μῆτερ (voc. sing.) | μήτ**η**ρ (nom. sing.) | *μητ*r̥*-σι > μητρ**ά**σι (dat. plur.) |
| πατέρ-ες (nom. plur.) | πατ**ή**ρ (nom. sing.) | πατ*r̥*-σι > πατρ**ά**σι (dat. plur.) |
| φ**ό**ρ-ος 'tributo' | φ**ώ**ρ 'ladro' | |
| χρ**ῐ**ω | χρ**ῑ**σω | |
| λ**ῠ**ω | λ**ῡ**σω | |

| | | |
|---|---|---|
| ἔθ-ος 'abitudine' | ἦθ-ος 'carattere' | |

**27. Apofonia di seconda serie o combinata.**

| Grado normale (vocale lunga) | Grado ridotto (vocale breve) | Grado forte (vocale lunga) |
|---|---|---|
| η | ε | ω |
| ᾱ > η | ᾰ | ω |
| ω | ο | |
| τί-θη-μι | τί-θε-μεν | θω-μός 'cumulo' |
| ῥήγ-νυ-μι | ῥᾰγ-εῖν | ἔρρωγ-α |
| φᾱ-μί (φη-μί) | φᾰ-μέν | φω-νή |
| δί-δω-μι | δί-δο-μεν | |
| τρώγ-ω | ἔ-τρᾰγ-ον | |

**28. Apofonia di seconda serie: I tema.**

| **Radice bisillabica** | |
|---|---|
| *γενə nozione di 'nascere', 'essere' | γέν-ος 'stirpe'<br>γόν-ος 'seme'<br>γενέ-τωρ 'genitore' |
| *βελə nozione di 'scagliare' | βέλ-ος 'dardo'<br>βόλ-ος 'lancio'<br>βέλε-μνον 'dardo'<br>βολέω < *βολε-jω 'io lancio' |
| *τεμə nozione di 'tagliare' | τέμ-νω 'io taglio'<br>τόμ-ος 'taglio'<br>τέμε-νος ìspazio sacro ritagliato (lat. *tem-plum*) |
| *πετə nozione di 'volare', 'cadere', 'distendere' | πέτ-ομαι 'io volo'<br>*πετέ-σο-μαι>*πετέ-ο-μαι>πεσέ-ομαι>πεσοῦμαι 'io cadrò'.<br>ἐ-πέτα-σα 'io distesi'<br>ποτή 'volo' |
| *μολə nozione di 'andare' | ἔ-μολ-ον 'io andai'<br>*μολέ-σο-μαι>*μολέ-ο-μαι> μολοῦμαι 'io andrò' |
| *θορə nozione di 'balzare' | ἔ-θορ-ον 'io balzai'<br>*θορέ-σο-μαι> *θορέ-ο-μαι > θοροῦμαι 'balzerò' |
| *στορə nozione di 'stendere' | στόρ-νυμι ' io distendo'<br>ἔ-στόρε-σα 'io distesi' |
| *πελə nozione di 'riempire' | πολ-ύς 'molto' |
| *ὀλə nozione di 'distruggere' | ὀλ-νυμι > ὀλλυμι 'io distruggo'<br>ὀλέ-σω 'io distruggerò' |
| *ὀμə nozione di 'giurare' | ὀμνυμι 'io giuro' |

| | |
|---|---|
| | ὤμο-σα 'io giurai' |
| *ϝεμə nozione di 'vomitare' | *ϝεμε-jω > ἐμέ-ω 'io vomito'<br>ἔμε-τος 'vomito' |
| *ἐλə nozione di spingere' | *ἐλά-jω > ἐλά-ω ' io spingo' |
| *πορə nozione di 'offrire' | ἔ-πορ-ον 'io offrii' |

**29**. **Apofonia di seconda serie**: **II tema**.

| Radice bisillabica | |
|---|---|
| *γενə nozione di 'nascere', 'essere' | γνή-σιος 'puro'<br>γνω-τός 'parente' |
| *βελə nozione di 'scagliare' | βλη-τός 'lanciato' |
| *τεμə nozione di 'tagliare' | τμῆ-σις 'taglio' |
| *πετə nozione di 'volare', 'cadere', 'distendere' | ἐ-πτά-μην / ἔ-πτην 'io volai'<br>πτῶ-σις 'caduta' |
| *μολə nozione di 'andare' | *μλω-σκω > *μβλώ-σκω > βλώ-σκω 'io vado' |
| *θορə nozione di 'balzare' | θρώ-σκω 'io balzo' |
| *στορə nozione di 'stendere' | στρῶ-μα 'materasso' |
| *πελə nozione di 'riempire' | πλή-ρης |
| *καμə nozione di 'stancarsi | κέ-κμη-κα mi sono stancato' |
| *θανə nozione di 'morire' | θνή-σκω 'muoio' |
| *καλə nozione di 'chiamare' | ἐκ-κλη-σία 'assemblea' |
| *βορə nozione di 'divorare | βρῶ-σις 'cibo' |
| *τορə nozione di 'ferire' | τρῶ-σις 'ferita' |
| *πορə nozione di 'offrire' | *πέ-πρω-ται 'è voluto dal fato' |

**30**. **Apofonia di seconda serie**: **II tema**.

| Radice bisillabica | |
|---|---|
| *γενə nozione di 'nascere', 'essere' | γί-γν-ο-μαι 'io sono' |
| *βελə nozione di 'scagliare' | *βl̥-jω > βαλ-jω > βάλ-λω 'io lancio'<br>ἔ-βαλ-ον 'io lanciai' |
| *τεμə nozione di 'tagliare' | ἔ-τα-μον / ἔ-τε-μον 'io tagliai' |
| *πετə nozione di 'volare', 'cadere', 'distendere' | ἐ-πτό-μην 'io volai'; πίπτω 'io cado' |
| *καμə nozione di 'stancarsi | κάμ-νω 'io mi stanco'<br>ἔ-καμ-ον 'io mi stancai'<br>κάμα-τος 'stanchezza' |

| | |
|---|---|
| *θανə nozione di 'morire' | ἔ-θαν-ον ' io morii'<br>θάνα-τος 'morte |
| *καλə nozione di 'chiamare' | *καλε-jω > καλέ-ω 'io chiamo'<br>καλέ-σω > καλέ-ω > καλῶ 'io chiamerò' |
| *ἀρə nozione di 'arare' | *ἀρο-jω > ἀρό-ω 'io aro' |
| *ἀρə nozione di 'attingere' | *ἀρυ-jω > ἀρύ-ω 'io attingo' |

**30bis**. **jə** (jod + *schwa*) > **jă**: *μορ-**jă** > μοῖρα. *βασιλεϝ-**jă** > βασίλεια. *ἀληθεσ-**jă** > ἀλήθεια. *τραπεδ-**jă** > τράπεζα. *μελιτ- **jă** > μέλισσα. *γλωχ-**jă** > γλῶσσα. *ἀμιλ-**jă** > ἅμιλλα. *δεσπον-**jă** > δέσποινα. *σφαρ-**jă** > σφαῖρα.

**31**. Plut. *Caes.* 50, 3 s. τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην πρός τινα τῶν φίλων Μάτιον ἔγραψε τρεῖς λέξεις· ἦλθον, εἶδον, ἐνίκησα.Ῥωμαϊστὶ δ' αἱ λέξεις, εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος, οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν.

**32**. Xen. *Hell.* 4, 4, 1 οἱ πλεῖστοι καὶ βέλτιστοι αὐτῶν εἰρήνης ἐπεθύμησαν, καὶ συνιστάμενοι ἐδίδασκον ταῦτα ἀλλήλους.

**33**. Hom. *Il.* 1, 423 s. Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας / χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

**34**. Hdt. 3, 10 ὁ Ἄμασις...ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι ἐν τῷ ἱρῷ, τὰς αὐτὸς οἰκοδομήσατο

**35**. Hom. *Il.* 6, 174 ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσεν.

**36**. Xen. *Hell.* 6, 5, 11 ἰδόντες δὲ ταῦτα πολλοὶ καὶ τῶν πεζῶν εἰς φυγὴν ὥρμησαν.

**37**. Xen. *An.* 3, 4, 25 s. οἱ βάρβαροι καὶ ἀπὸ τοῦ ὑψηλοῦ εἰς τὸ πρανὲς ἔβαλλον, ἐσφενδόνων, ἐτόξευον ὑπὸ μαστίγων, καὶ πολλοὺς ἐτίτρωσκον καὶ ἐκράτησαν τῶν Ἑλλήνων γυμνήτων.

**38**. Aesop. 259, 2 ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν ταῖς φιλονεικίαις τῶν φρονιμωτέρων αὐτῶν παρακούσαντες ἑαυτοὺς κατέβλαψαν.

.

.

.

.

.

.